# Παράκληση Αρχαγγέλων Μιχαήλ και Γαβριήλ



Ευλογήσαντος του Ιερέως.

Ψαλμός ρμβ΄ (142)

Κύριε εισάκουσον της προσευχής μου, ενώτισαι την δέησίν μου εν τη αληθεία σου, εισάκουσον μου εν τη δικαιοσύνην σου. Και μη εισέλθεις εις κρίσιν μετά του δούλου σου, ότι ου δικαιωθήσεται ενώπιόν σου πας ζων. Ότι κατεδίωξεν ο εχθρός την ψυχήν μου, εταπείνωσεν εις γην την ζωήν μου. Εκάθισεν με εν σκοτεινοίς ως νεκρούς αιώνος, και ηκηδίασεν το πνεύμα μου, εν εμοί εταράχθη η καρδίαν μου. Εμνήσθην ημερών αρχαίων, εμελέτησα εν πάσι τοις έργοις σου, εν ποιήμασι των χειρών σου εμελέτησα. Διαπέτασα προς σε τας χείρας μου, η ψυχή μου ως γη άνυδρός σοι.
Ταχύ εισάκουσον μου, Κύριε, εξέλιπε το πνεύμα μου. Μη αποστρέψεις το πρόσωπόν σου απ΄εμού, και ομοιωθήσομαι τοις καταβαίνουσιν εις λάκον. Ακουστόν ποίησον μοι το πρωί το έλεός σου, ότι επί σοι ήλπισα. Γνώρισόν μοι κύριε, οδόν εν ή πορεύσομαι, ότι προς σε ήρα την ψυχήν μου. Εξελού με εκ των εχθρών μου Κύριε, προς σε κατέφυγον, δίδαξόν με του ποιείν το θέλημά σου, ότι συ ει ο Θεός μου. Το Πνεύμα σου το αγαθόν οδηγήσει με εν γη ευθεία, ένεκεν του ονόματος σου, Κύριε, ζήσεις με. Εν τη δικαιοσύνην σου εξάξεις εκ θλίψεως την ψυχήν μου, και εν τω ελέει σου εξολοθρεύσεις τους εχθρούς μου. Και απολείς πάντας τους θλίβοντας την ψυχήν μου, ότι εγώ δούλος σου ειμί.

Είτα τα παρόντα Τροπάρια.

Θεός Κύριος και επέφανεν ημίν ευλογημένος ο ερχόμενος εν ονόματι Κυρίου. (Τετράκις)

Ήχος δ’ ( ο υψωθείς εν τω Σταυρώ)

Τους Πρωτοστάτας Ουσιών των αύλων, και καταυγάζοντας φωτί πάσαν Κτίσιν, της Τρισηλίου δόξης και Θεότητος, άπαντες τιμήσωμεν, Αρχαγγέλους τους θείους, προς αυτούς κραυγάζοντες, εν ψυχή τεθλιμμένη, ώ Ταξιάρχαι αύλων Ουσιών, πάσης ημάς περιστάσεως ρύσασθε.

Δόξα πατρί....
«Απολυτίκιον»
Ήχος δ’

Των ουρανίων στρατιών Αρχιστράτηγοι, δυσωπούμεν υμάς, ημείς οι ανάξιοι, ίνα ταις υμών δεήσεσι τειχίσητε ημάς, σκέπη των πτερύγων της αύλου υμών δόξης, φρουρούντες ημάς προσπίπτοντας, εκτενώς και βοώντας. Εκ των κινδύνων λυτρώσασθε ημάς, ως Ταξιάρχαι των άνω Δυνάμεων.

Και νυν...
«Θεοτοκίον»

Ου σιωπήσομεν, ποτέ, Θεοτόκε, τας δυναστείας Σου λαλείν οι ανάξιοι, ει μη γαρ Συ προίστασο πρεσβέβουσα, τις ημάς ερρύσατο, εκ τοσούτων κινδύνων: Τις δε διεφύλαξεν εως νυν ελευθέρους: Ουκ αποστώμεν, Δέσποινα εκ Σου, σους γαρ δούλους σώζεις αεί, εκ παντοίων δεινών.

Ψαλμός Ν΄ (50)

Ελέησόν με, ο Θεός, κατά το μέγα Έλεός Σου, και κατά το πλήθος των οικτιρμών Σου, εξάλειψον το ανόμημά μου. Επί πλείον πλύνον με από της ανομίας μου και από της αμαρτίας μου καθάρισόν με. Ότι την ανομίαν μου εγώ γινώσκω, και η αμαρτία μου ενώπιόν μου εστί δια παντός. Σοι μόνω ήμαρτον και το πονηρόν ενώπιον Σου εποίησα, όπως αν δικαιωθείς εν τοις λόγοις Σου, και νικήσης εν τω κρίνεσθαί Σε. Ιδού γαρ εν ανομίαις συνελήφθην και εν αμαρτίαις εκίσσησέ με η μήτηρ μου. Ιδού γαρ αλήθειαν ηγάπησας, τα άδηλα και τα κρύφια της σοφίας Σου δηλώσας μι. Ραντίζεις με υσσώπω και και καθαρισθήσομαι, πλυνείς με και υπέρ χιόνα λευκανθήσομαι. Ακουτιείς μοι αγαλλίασιν και ευφροσύνην, αγαλλιάσονται οστέα τεταπεινωμένα. Απόστρεψον το πρόσωπόν Σου από των αμαρτιών μου και πάσας τας ανομίας μου εξάλειψον. Καρδίαν καθαράν κτίσον εν εμοί ο Θεός, και πνεύμα ευθές εγκαίνησον εν τοις εγκάτοις μου. Μη απορρίψης με από του προσώπου Σου, και το πνεύμα Σου το

άγιον μη αντανέλης απ’ εμού. Απόδος μοι την αγαλλίασιν του σωτηρίου Σου, και πνεύματι ηγεμονικώ στήριξόν με . Διδάξω ανόμους τας οδούς Σου, και ασεβείς επί Σε επιστρέψουσι. Ρύσαι με εξ αιμάτων ο Θεός, ο Θεός της σωτηρίας μου, αγαλλιάσεται η γλώσσα μου την δικαιοσύνην Σου. Κύριε, τα χείλη μου ανοίξεις, και το στόμα μου αναγγελεί την αινεσίν Σου. Ότι ει ηθέλησας θυσίαν, έδωκα αν, ολοκαυτώματα ουκ ευδοκήσεις. Θυσία τω Θεώ πνεύμα συντετριμμένον, καρδίαν συντετριμμένην και τεταπεινομένην ο Θεός ουκ εξουδενώσει. Αγάθυνον, Κύριε,εν τη ευδοκίαν Σου την Σιών, και οικοδομηθήτω τα τείχη Ιερουσαλήμ. Τότε ευδοκήσεις θυσίαν δικαιοσύνης, αναφοράν και ολοκαυτώματα. Τότε ανοίσουσιν επί το θυσιαστήριόν Σου μόσχους.

Είτα ο κανών

Ωδή α’ «Υγράν διοδεύσας»

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Αγίων Αγγέλων ως αρχηγοί, και της θεοπτίας απολαύοντες τηλαυγώς, τον Αγαθοδότην και Σωτήρα υπέρ ημών καθικεταύσατε.

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Απαύστως δοξάζουσι σε πιστώς, Ασωμάτων Δήμοι, ενηδόμενοι κάλλει τω σω, και τη ακορέστω αίγλη, Σώτερ, αυτών πρεσβείαις ημάς κατοικτείρησον.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Βιαίοις κρατούμενοι πειρασμοίς, υμίν ως προστάταις καταφεύγομεν οι πιστοί, Αρχάγγελοι θείοι, τον Δεσπότην εκτενώς εκδυσωπήσατε.

Και νυν και αεί, και εις τους αιώνας των αιώνων. Αμήν

Γενού μοι, Παρθένε, καταφυγή, λιμήν τε και τείχος, και προστάτις ή τον Θεόν, εν σαρκί τεκούσα, Θεομήτωρ, τον λυτρωτήν και Πανοικτήρμονα.

Ωδή γ’ «Ουρανίας αψίδος»

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Δωρεαίς πολυτρόποις, Αγγελικών τάξεων, οία Ταξιάρχαι, κοσμούμενοι, Αρχιστράτηγοι, καθοραίσατε, τας του Χριστού Εκκλησίας, θεικαίς λαμπρότησι,

ταις προστασίαις υμών.

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Δωρεάς με αγίας, ως συμπαθείς Άγγελοι, νυν καταξιώσαι τον ευσυμπάθητον δυσωπήσατε, τρόπους ασπλάχνους γαρ, και μοχθηρούς κεκτημένον, μετανοίας τρόποις με ανακαλέσατε.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Ευδοκίας εν όπλω, το των Πιστών πλήρωμα, δόξης Ουρανίου τω κάλλει νυν στεφανούμενοι, εκ περιστάσεως, ως ευκλεείς παραστάται, του Θεού λυτρώσασθε, θείοι Αρχάγγελοι.

Και νυν και αεί, και εις τους αιώνας των αιώνων. Αμήν

Ζωής της ακηράτου, θεία σκηνή γέγονας, μόνη εξ' αιώνος φανείσα, Παρθενομήτωρ, Αγνή, διο Πανάμωμε, τον εν σκιά του θανάτου, προς ζωήν οδήγησον.

Ωδή δ' «Εισακήκοα Κύριε»

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Η Δυάς η πρωτεύουσα, της των Αρχαγγέλων νυν ομηγύρεως, τους προστρέχοντας τη σκέπη σου, εκ παντός κινδύνου, ελευθέρωσον.

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Θεωροί της λαμπρότητος, της Θεαρχικής και Αγαδοδότητος, Αρχιστράτηγοι, υπάρχοντες, δούλους τους υμών δεινών λυτρώσασθε.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Ιεραίς εν δεήσεσιν, εύροιμι υμάς συλλήπτορας Άγγελοι, την ψυχήν μου ενισχύοντας, και τον λογισμόν μου καταυγάζοντας.

Και νυν και αεί, και εις τους αιώνας των αιώνων. Αμήν

Ιερώς σε δοξάζουσι, τα των Ασωμάτων θεία στρατεύματα, Θεομήτωρ Πανακήρατε, τον γαρ Κτίστην τούτων απεκύησας.

Ωδή ε’ «Φώτισον ημάς»

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Κύκλω του Θεού, παρεστώτες, Αρχιστράτηγοι, και ταις εκείθεν πηγαζούσαις αυγαίς, λελαμπρυσμένοι τους υμών οικέτας διασώσατε.

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Λύτρωσιν ημίν, δωρηθήναι ικετεύσατε, τον Δεσπότην και Θεόν ημών, ως παραστάται της βροτών απολυτρώσεως.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Μύστας της σεπτής, και αρρήτου Σώτερ δόξης σου, τους Αρχιστρατήγους υπέστησας, τους σους ουν δούλους δι’ αυτόν νυν διαφύλαξον

.
Και νυν και αεί, και εις τους αιώνας των αιώνων. Αμήν

Μύρον μυστικόν, ονομάζομέν σε, Πάναγνε, ως γεννήσασαν Θεόν εν σαρκί, τον τα ευώδη αναβρύοντα χαρίσματα.

Ωδή στ’ «Την δέησιν»

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Νυν θρόνω τω φοβερώ παρίστασθαι, ακλινώς αξιωθέντες, Θεόπται, και του φωτός της Αγίας Τριάδος, επαπολαύειν πρεσβεύσατε Άγγελοι, ρυσθήναι εκ των πειρασμών, τους τη σκέπη υμών καταφεύγοντας.

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Ξηράνατε των παθών σηπεδόνα και των νόσων κοπάσατε τον σάλον, συν τούτοις δε, ω Αρχάγγελοι θείοι, και τα της Πίστεως σκάνδαλα παύσατε, και ρύσασθε πάντας ημάς ταις λιταίς υμών πάσης αιρέσεως.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Οι άγιοι Ταξιάρχαι Αγγέλων, παρεστώτες εσαεί τη Τριάδι, και των φρικτών και αρρήτων αυτόπται, ως όντες , πάντας, Αρχάγγελοι, ρύσασθε, κινδύνων τε και πειρασμών, ταις υμών ικεσίαις δεόμεθα.

Και νυν και αεί, και εις τους αιώνας των αιώνων. Αμήν

Ο έμψυχος του Σωτήρος θάλαμος, ο λαμπραίς της Παρθενίας ακτίσι, φωτοειδώς ώσπερ κρίνος εκλάμπων, της ακανθώδους εν μέσω συγχύσεως, η Πάναγνος και ευπρεπής, Θεοτόκος Παρθένος δοξάζεται.

Εκ νόσων και εκ παντοίων κινδύνων ρύσασθε Ταξιάρχαι, τους πιστώς τελούντας υμών την Σύναξιν, ως φύλακες Ορθοδόξων προστάται.

Άχραντε, η διά λόγου τον Λόγον ανερμηνεύτως, επ’ εσχάτων των ημερών τεκούσα δυσώπησον, ώς έχουσα μητρικήν παρρησίαν.

«Κοντάκιον»

Αρχιστράτηγοι Θεού, Λειτουργοί θείας δόξης, των ανθρώπων οδηγοί και Αρχηγοί Ασωμάτων, το συμφέρον ημίν πρεσβεύσατε, και το μέγα έλεος, ως των Ασωμάτων Αρχιστράτηγοι.

«Προκείμενον»

Ο ποιών τους Αγγέλους αυτού Πνεύματα, και τους λειτουργούς αυτού πυρός φλόγα.

«Στίχος» Ευλόγει η ψυχή μου τον Κύριον, Κύριε ο Θεός μου εμεγαλύνθης σφόδρα.
«Ευαγγέλιον»
Εκ του κατά Λουκάν (10, 16-21)

Είπεν ο Κύριος τοις εαυτού Μαθηταίς. Ο ακούων υμών εμού ακούει, και ο αθετών υμάς, εμέ αθετεί, ο δε εμέ αθετών, αθετεί τον αποστείλαντά με. Υπέστρεψαν δε οι Εβδομήκοντα μετά χαράς, λέγοντες, ‘ Κύριε, και τα δαιμόνια υποτάσσεται ημίν εν τω ονόματι σου. Είπεν δε αυτοίς εθεώρουν τον Σατανάν ως αστραπήν εκ του ουρανού πεσόντα. Ιδού δίδωμι υμίν την εξουσίαν του πατείν επάνω όφεων και σκορπίων, και επί πάσαν την δύναμιν του εχθρού, και ουδέν υμάς ου μη αδικήση. Πλήν εν τούτω μη χαίρετε, ότι τα πνεύματα υμίν υποτάσσεται’ χαίρετε δε ότι τα ονόματα υμών εγράφη εν τοις ουρανοίς. Εν αυτή τη ώρα ηγαλλιάσατο τω πνεύματι ο Ιησούς και είπεν’ εξομολογούμαι σοι, Πάτερ, Κύριε του ουρανού και της γής, ότι απέκρυψας ταύτα από σοφών και συνετών, και απεκάλυψας αυτά νηπίοις’ ναι, ο Πατήρ, ότι ούτως εγένετο ευδοκία έμπροσθέν σου.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Ταις των Ασωμάτων πρεσβείες Ελεήμον, εξάληψον τα πλήθη των εμών εγκλημάτων.

Και νυν και αεί, και εις τους αιώνας των αιώνων. Αμήν

Ταις της Θεοτόκου πρεσβείες Ελεήμον, εξάληψον τα πλήθη των εμών εγκλημάτων

«Προσόμοιον»

«Στίχος» Ελέησον με, ο Θεός, κατά το μέγα Έλεός Σου, και κατά το πλήθος των οικτιρμών Σου, εξάλειψον το ανόμημά μου

Παύασατε την έφοδον, ώ Πρωτοστάται Αγγέλων, Μιχαήλ θαυμάσιε, Γαβριήλ θειότατε, των αιρέσεων, και ταχύ σώσατε, εκ νόσων παντοίων, και τον σάλον διαιρέσεων, καταπραύνατε, και κινδύνων ρύσασθαι και των θλίψεων, λιταίς υμών, Αρχάγγελοι, πάντας τους υμάς αναμέλποντας, και τη θεία σκέπη, υμών προσπεσφευγότας ευλαβώς, και των δεινών της κολάσεως, θείοι Νόες σώσατε.

Ο Ιερεύς : Σώσον ο Θεός τον λαόν Σου....

Ωδή ζ’ «Οι εκ της Ιουδαίας»

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Πολυποίκιλον χάριν, Αρχιστράτηγοι θείοι, υμίν δεδώρηται, ο πάντων ευεργέτης, ου νυν την Εκκλησίαν, διασώτατε ψάλλουσαν’ ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Ρώμη του Παντεπόπτου, δυναμούμενοι πάντα, της γης τα πέρατα, τρανώς περισκοπείτε, και πάντας τους εν πίστει περισώζετε ψάλλοντας’ ο των Πατέρων ημών, Θεός ευλογητός εί.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Συν Αύλοις Αγγέλοις, των πιστών αι χορείαι δεύτε τιμήσωμεν, την αίσιον ημέραν, της μνήμης εκτελούντες, των Θεού Αρχαγγέλων πιστώς, και

εκβοώντες αυτοίς, ρύσασθε ημάς νόσων.

Και νυν και αει, και εις τους αιώνας των αιώνων. Αμήν

Σωτηρίας λιμένα, Θεοτόκε Παρθένε, σε νυν γνωρίζοντες, του βίου τους κινδύνους, εκφεύγομεν και ζάλας, τω Υιώ σου κραυγάζοντες ΄ο των Πατέρων ημών, Θεός ευλογητός ει.

Ωδή η’ «Τον Βασιλέα»

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Τους παραστάτας και υμνωδούς της αφράστου, Αρχαγγέλους δόξης σου προσδέχου, σε νυν δυσωπούντας, υπέρ ημών, Παντάναξ.

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Ύμνους απαύστως, ώ Αρχάγγελοι θείοι, τω Θεώ προσφέροντες των όλων, μέμνησθε των πίστει υμάς υμνολογούντων.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Φώτα, ώ θείοι Αρχιστράτηγοι, όντες, της θεότητος παρακαλούμεν πάντας, φωτός Ουρανίου εμπλήσατε και δόξης.

Και νυν και αεί, και εις τους αιώνας των αιώνων. Αμήν

Φαεινοτάταις σου αστραπαίς, Θεομήτωρ, τους πιστώς ειδότας σε φαιδρύνεις, την τιμιωτέραν των Ουρανίων Νόων.

Ωδή θ’ «Κυρίως Θεοτόκον»

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Χορείας Ασωμάτους, νυν την Εκκλησίαν, δι’ αρετής μιμουμένην συ λάμπρυνον, περιτειχίζων, Παντάναξ, αυτήν Αγγέλοις σου.

Άγιοι Αρχάγγελοι του Θεού πρεσβεύσατε υπέρ ημών

Ψυχών την σωτηρίαν, Θεού Ταξιάρχαι, πάσιν υμίν τοις τιμώσι δωρήσασθε, την φαιδροτάτην ημών και θείαν πανήγυριν.

Δόξα Πατρί και Υιώ και αγίω Πνεύματι

Ως φύλακας του Κόσμου, και των Ορθοδόξων, και Αρχιστράτηγοι θείων δυνάμεων, ρύσασθε νόσων ημάς και κακώσεων.

Και νυν και αεί, και εις τους αιώνας των αιώνων. Αμήν

Ως Λυκαυγές ως όρθος, πάσι τοις εν σκότει εξανατείλασα, Άχραντε, πρέσβευε Χριστώ, φωτίσαι τους εν πίστει αεί υμνούντας σε.

Το «Άξιον εστίν»
και τα ακόλουθα Μεγαλυνάρια

Σκέπε, φρούρει, φύλαττε, σαις λιταίς, Αρχάγγελε θείε, Αστραπόμορφε Μιχαήλ, τους πίστει σε τιμώντας και γεραίροντας πόθω, ως πρώτον των Αγγέλων και Αρχιστράτηγον.

Πάρεσο προστάτης πάσιν ημίν, εν παντί τω βίω και εν ώρα τη φοβερά, του πικρού θανάτου, βοήθει θείε Νόε, Αρχάγγελε Κυρίου Μιχαήλ αξιύμνητε.

Ξυνωρίς αοίδιμε, και Δυάς, άυλε και θεία, διασώσατε τους πιστώς, υμάς ευφημούντας, εκ παντίων κινδύνων, Αρχάγγελοι Κυρίου, Μιχαήλ και Γαβριήλ.

Αρχάγγελοι, Άγγελοι και Αρχαί, Δυνάμεις και Θρόνοι, Κυριότητες, Σεραφείμ, σεπταί Εξουσίαι και Χερουβείμ οι θείοι, υπέρ ημών τον Κτίστην καθικετεύσατε.

Την υψηλοτέραν των Ουρανών, και καθαρωτέραν λαμπηδόνων ηλιακών, την λυτρωσαμένην, ημάς εκ της κατάρας, την Δέσποιναν του Κόσμου, ύμνοις τιμήσωμεν.

«Τρισάγιον»

«Απολυτίκον»

Των ουρανίων στρατιών Αρχιστράτηγοι, δυσωπούμεν υμάς, ημείς οι ανάξιοι, ίνα ταις υμών δεήσεσι τειχίσητε ημάς, σκέπη των πτερύγων της αύλου υμών δόξης, φρουρούντες ημάς προσπίπτοντας, εκτενώς και βοώντας. Εκ των κινδύνων λυτρώσασθε ημάς, ως Ταξιάρχαι των άνω Δυνάμεων

Απόλυσις και ψάλλομεν τα εξής»

Ήχος β’ (Ότε εκ του ξύλου)

Δεύτε εν ωδαίς Πνευματικαίς, Νόων Ασωμάτων των θείων, Αρχιστρατήγους κλεινούς, πόθω ανυμνήσωμεν προς αυτούς λέγοντες Μιχαήλ υπερένδοξε και Γαβριήλ θείε, σώσατε Πανάγιοι, τους Ορθοδόξους ημάς, νόσων τε παθών και κινδύνων, ταις ταις υμών, θείοι Νόες, και προς τρίβους σωτηρίας οδηγήσατε.

Δέσποινα πρόσδεξαι, τας δεήσεις των δούλων σου, και λύτρωσαι ημάς, από πάσης ανάγκης και θλίψεως.

Την πάσαν ελπίδα μου, εις σε ανατίθημι, Μήτερ του Θεού, φύλαξον με υπό την σκέπην σου.

Δι’ ευχών των Αγίων Πατέρων ημών, Κύριε Ιησού Χριστέ ο Θεός, ελέησον και σώσον ημάς. Αμήν.